www.tezaurliturgic.ro

*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος*
*(Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

*******************************************************************

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# Α Κ Ο Λ Ο Υ Θ Ι Α
## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ
# Α Ι Μ Ι Λ Ι Α Ν Ο Υ

*
*
* * * * *
*
*

Ἀθῆναι 2009

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ

# Α Ι Μ Ι Λ Ι Α Ν Ο Υ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΗ΄ Ἰουλίου.**

Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια

****************

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.**

**Χ**αῖρε, Μάρτυς Αἰμιλιανέ,
Δορυστόλου γόνε Μοισίας
τῆς ἐν τῇ Θράκῃ σεμνέ,
εὐσεβείας πρόμαχε,
κρηπὶς τῆς πίστεως,
εὐψυχίας ἐκτύπωμα,
ἀνδρείας πυξίον,
στῦλε γενναιότητος
φωτοειδέστατε,
καὶ ὁμολογίας Κύριου
χρυσολόγον κλήσεως στόμα
καταισχύναν ἄνδρας εἰδωλόφρονας.

**Μ**άρτυς τοῦ Χριστοῦ περιφανές,
ὁ προσενεχθεὶς τῷ Κυρίῳ
ὡς προσφορὰ λογικὴ
καὶ ῥοαῖς αἱμάτων σου
σεπτῶν, πολύαθλε,
κατασβέσας πῦρ βρόμυον,
σεβάσματα πλάνης
εὐθαρσῶς συνέτριψας
καὶ ὡμολόγησας
πίστει τὸν Θεὸν τῆς ἀγάπης,

www.tezaurliturgic.ro


ὑπὲρ Οὗ καὶ ἤθλησας χαίρων,
Αἰμιλιανὲ περικλεέστατε.

**Ν**ίκης ὁ βραβεῖα εἰληφώς,
Αἰμιαλιανὲ ἀθλοφόρε,
ἔνδον σταδίου, ὀφρὺν
Βικαρίου ἄφρονος
φεῦ, λίθους σέβοντος,
γενναιόφρον πολύαθλε,
ἀσπλάγχνως ἐδάρης
καὶ ῥιφεὶς εἰς βρόμυον
πὺρ ξένως ἔμεινας
ἄκαυστος, ἁγίαν ψυχήν σου
τῇ χειρὶ Θεοῦ παραδοῦναι,
σὲ ἀξίως, Μάρτυς, θαυμαστώσαντος.

**Μ**νήμην ἀεισέβαστον τὴν σήν,
Αἰμιλιανέ, ἐκτελοῦντες
εὐσεβοφρόνων χοροὶ
καὶ ὑμνοῦντες σκάμματα
τῆς σῆς ἀθλήσεως
εὐλαβῶς σοι κραυγάζομεν·
Χριστοῦ καλλιμάρτυς,
ὁ συντρίψας εἴδωλα
σφύρᾳ σῆς πίστεως,
ᾔσχυνας Βικάριον πλάνον
καὶ ἀγωνοθέτην τον θεῖον,
Ἰησοῦν, σοῖς ἄθλοις ἐμεγάλυνας.

**Δόξα. Ἦχος πλ. δ΄.**

**Ὁ** παριδὼν τοῦ θέρους τὸν καύσωνα
καὶ ἐν πυρὶ ῥιφεὶς ὡς χρυσὸς ἐν καμίνῳ
πάντας πιστοὺς ἐδρόσισας νάμασιν ἄθλων σου,
Αἰμιλιανέ, Χριστοῦ ὁπλῖτα γενναιότατε·
ὅθεν τὴν μνήμην σου ἑορτάζοντες
καὶ ὡς ὀλετῆρα τῶν εἰδώλων τιμῶντές σε
τὰς ἀδιαλείπτους σου εὐχὰς ἐξαιτούμεθα
πρὸς ἀρετῆς ὁλοκλήρωσιν καὶ θέωσιν.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι....

**Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Φῶς, Αἰμιλιανέ,
τῶν ἐν σκοτίᾳ ὄντων
εἰδώλων πλάνης, πάντας
ἐφώτισας ἀκτῖσιν
ἐνδόξου μαρτυρίου σου.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Νῦν, Αἰμιλιανέ,
σὴν μνήμην ἐκτελοῦντες
τὴν παμφαῆ βοῶμεν·
ἀπαύγασμα Μαρτύρων
ὑπάρχεις φαινότατον.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Ὦ Αἰμιλιανέ,
εἰδώλων καθαιρέτα,
ἐνήθλησας εὐτόλμως
καὶ ὄνομα Κυρίου
τὸ θεῖον ἐμεγάλυνας.

**Δόξα. Τριαδικόν.**

Δόξα Σοι, ὁ Θεός,
ὁ θαυμαστὸς ἐν πᾶσιν
Αὐτοῦ λαμπροῖς Ἁγίοις,
Τριὰς ὑπεραγία,
σεπτὴ καὶ ὁμοούσιε.

**Καὶ νῦν. Θεοτοκίον.**

Μῆτερ τοῦ Ἰησοῦ
ὑπερευλογημένη,
κατάπεμψον σοῖς δούλοις
ἀφθόνως τὰ ἐλέη
καὶ οἰκτιρμοὺς τοῦ Τόκου σου.

Νῦν ἀπολύεις...**τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

## ΕΝ ΤΩ͂ ΜΕΓΑΛΩ͂ ΕΣΠΕΡΙΝΩ͂

Μετὰ τὸν Προοιμιακὸν τὸ **Μακάριος ἀνήρ**, εἰς δὲ τὸ **Κύριε ἐκέκραξα** ἱστῶμεν στίχους η´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·

Ἦχος δ´. **Ἔδωκας σημείωσιν.**

Μάρτυς γενναιότατε,
τοῦ Δορυστόλου ἐκβλάστημα,
Ἐκκλησίας ὡράϊσμα
καὶ πίστεως σέμνωμα,
τῶν εἰδώλων λάτρεις
ᾔσχυνας σοῖς ἄθλοις
ἀλκίφρον Αἰμιλιανέ,
καὶ Χριστωνύμων χοροὺς κατηύφρανας
ἐνστάσει τῇ τιμίᾳ σου
καὶ εὐσθενεῖ μαρτυρίῳ σου,
δι’ οὗ κλῆσιν τοῦ Κτίσαντος
Ἰησοῦ ἐμεγάλυνας.

Ἔθραυσας τὰ ξόανα
εἰδώλων σφύρᾳ τῶν λόγων σου,
καλλιμάρτυς ἀήττητε,
θεόγλυπτον ἄγαλμα
ψυχικῆς ἀνδρείας
καὶ Χριστοῦ ὁπλῖτα
στεῤῥόφρον Αἰμιλιανέ,
ὁ κατασβέσας αἱμάτων χεύμασι
σεπτῶν σου πῦρ τὸ ἄσβεστον
καὶ παραμείνας πυράκαυστος,
ἵνα δῷ τῷ Παντάνακτι
σὴν ψυχὴν τὴν πανάμωμον.

Δοῦλος εὐπειθέστατος
βροτείου πέλοντος ἄρχοντος
ἀληθὴς δοῦλος πέφηνας
Χριστοῦ τοῦ Παντάνακτος,
ἀριστεῦ σταδίου,
γνώμῃ ἐλευθέρᾳ,
τρισμάκαρ Αἰμιλιανέ,
ὁ μεγαλύνας τὸ θεῖον ὄνομα
σεπτοῦ ἀγωνοθέτου σου
καὶ στεφοδότου, Ὃν πάντοτε

www.tezaurliturgic.ro


δυσωπεῖς ὑπὲρ μνήμην σου
τῶν τιμώντων ἐν ᾄσμασι.

Μάρτυς ὡς ἀήττητος
προσομιλεῖν τῷ οἰκτίρμονι
Ἰησοῦ χάριν εὕρηκας
καὶ Τούτῳ ἑκάστοτε,
ἀθλητά, πρεσβεύειν
δοῦναι ὁμιλίαν
νηπίοις πᾶσιν καθαρὰν
καὶ λόγον, μάκαρ,
ψυχοσωτήριον
ἀνδράσιν ἑορτάζουσι
τὴν πανσεβάσμιον μνήμην σου
καὶ τιμῶσι τὴν ἄθλησιν
τὴν στεῤῥάν σου ἐν σκάμματι.

Ὄνομα τὸ ἅγιον
τοῦ Ἰησοῦ πρὸ τοῦ βήματος
Βικαρίου τοῦ ἄφρονος
στεῤῥῶς ὡμολόγησας
ἐν ἀσεβεστάτου
χρόνοις Παραβάτου,
παμμάκαρ Αἰμιλιανέ,
οὗ δωδεκάθεον ἀπεκύρηξας·
πυρὸς ὅθεν κατέσβεσας
τὴν φλόγα ῥείθροις αἱμάτων σου
καὶ ἐδρόσισας ἄθλοις σου
Χριστωνύμων ὁμήγυριν.

Πίστει ἑορτάζοντες
τὴν πανσεβάσμιον μνήμην σου
εὐσεβόφρονες σήμερον,
Μαρτύρων ἀγλάϊσμα
εὐσθενῶν καὶ κλέος
ἀθλητῶν σταδίου
ἀρίστων, Αἰμιλιανέ,
ἀπεκδεχόμεθα τὰς πρεσβείας σου
πρὸς Κύριον τὸν εὔσπλαγχνον,
μεθ’ Οὗ συγχαίρεις ἀείποτε

τὸν δώρουμενον ἅπασι
τὰ ἐλέη τὰ πλούσια.

www.tezaurliturgic.ro


**Δόξα. Ἦχος πλ. β΄.**

Τὸν πυρὶ βρέμοντι βληθέντα ὡς χόρτον ἀναλωθῆναι, ἐν ᾧ Θεῷ παρέδωκε τὴν ψυχὴν αὐτοῦ, εὐφημήσωμεν Αἰμιλιανὸν τὸν πανένδοξον·
οὗτος γὰρ ἀρνησάμενος λατρεῦσαι τὰ ἀναίσθητα εἴδωλα ἐκ τῆς προσκαίρου δουλείας
πρὸς τὴν ἀτελεύτητον ἔδραμεν ἐλευθερίαν
δι’ ἀθλήσεως ἐννόμου καὶ γενναιότατης·
ὅθεν Χριστῷ ἀεὶ συνευφραινόμενος
ἀσιγήτως Αὐτῷ πρεσβεύει ὑπὲρ εἰρήνης τοῦ κόσμου
καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.** Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα·**

**Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα.(Κεφ. β΄ 1 - 11 )**

Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ' ἐσχάτων σου. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου· εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ' αὐτόν. Οἱ φοβούμενοι τὸν Κύριον ἀναμείνατε τὸ ἔλεος αὐτοῦ καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε. Οἱ φοβούμενοι Κύριον πιστεύσατε αὐτῷ καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν. Οἱ φοβούμενοι Κύριον ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε Κυρίῳ καὶ κατῃσχύνθη ;Ἢ τίς ἐπεκαλέσατο αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν ; Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος καὶ ἀφίησιν ἁμαρτίας καὶ σῴζει ἐν καιρῷ θλίψεως.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. α΄ 1 - 10 )**

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν

ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδείς· μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. γ΄ 1 - 9)**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

# ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

**Ἰδιόμελα.**

**Ἦχος α΄.**

Δεῦτε φιλομάρτυρες πάντες
Αἰμιλιανὸν τὸν Μάρτυρα τιμήσωμεν
ὡς πίστεως πολύεδρον ἀδάμαντα πιστῶς βοῶντες·
ὁ πυρὶ ὁλοκαυτωθεὶς καὶ εἰς οὐρανῶν ἐξελθὼν
ἀνάψυξιν,τὸν καύσωνα τῶν παθῶν ἡμῶν κατάπαυσον
καὶ ῥῦσαι θανάτου αἰωνίου τὰς ψυχὰς ἡμῶν.

**Ἦχος β΄.**

Ὁ πῦρ τὸ οὐράνιον περιφέρων ἐν τῇ ψυχῇ σου
πυρὸς παρανάλωμα ἐγένου ἀθέων προστάξει,
Αἰμιλιανέ, μεγάλαθλε τοῦ Χριστοῦ στρατιῶτα·
ὅθεν ἡμεῖς τὴν μνήμην σου ἑορτάζοντες
ψαλμοῖς καὶ ὕμνοις καὶ πνευματικαῖς μελῳδίαις
οἱ τῷ πυρὶ τῶν παθῶν ἐκκαιόμενοι
τὰς σὰς δροσοβόλους ἱκεσίας πρὸς Κύριον
ἐκδεχόμεθα,ἵνα ἐν μετανοίᾳ τὸ ὑπόλοιπον τοῦ βίου
τελέσωμεν.

**Ἦχος γ΄.**

Τὸν καταδείξαντα ἐν τῷ σταδίῳ
τὴν ἐν αὐτῷ οἰκοῦσαν δύναμιν πίστεως
καὶ εὐθαρσῶς ὁμολογήσαντα τὸν Κύριον τῆς δόξης,
Αἰμιλιανόν, τὸν ἀήττητον καλλιμάρτυρα,
ἐγκωμίων καταστέψωμεν ᾄσμασι
καὶ ἐν εὐλαβείᾳ εἴπωμεν·Ἀθλητὰ τροπαιοῦχε, τῆς
ἀνδρείας σκήνωμα,ὁ τῇ σῇ σφύρᾳ στντρίψας τὰ ἄψυχα
εἴδωλα,σύντριψον ἡμῶν τοὺς δεσμοὺς μετὰ τῆς
ἁμαρτίας καὶ σῶσον ἐκ θανάτου εὐχαῖς σου τὰς
ψυχὰς ἡμῶν.

**Ἦχος δ΄.**

Τὸν βληθέντα ὡς χόρτον μέσον ἀνημένων ἀνθράκων
καὶ ἐξελθόντα εἰς ἀναψυχὴν οὐράνιον,
Αἰμιλιανὸν τὸν θεοδόξαστον Μάρτυρα, τιμήσωμεν
οὕω λέγοντες·

Ὁ ἐν τῷ πυρὶ δροσιζόμενος
ὡς ἐν τῇ καμίνῳ οἱ τρεῖς Παῖδες,
καὶ ἀσιγήτως δοξολογῶν τὸν στεφοδότην Κύριον,
ἀνάψυξον καὶ ἡμᾶς τοὺς ἐν καύματι ἁμαρτίας
δρόσῳ τῶν διαθέρμων εὐχῶν σου
καὶ δόξης οὐρανῶν ἀξίωσον τοὺς σὲ μακαρίζοντας.

**Δόξα. Ἦχος ὁ αὐτός.**

**Δ**οῦλος ὑπάρχων εὐπειθέστατος πλουσίου ἄρχοντος δοῦλος ἐδείχθης τοῦ πλουσίου ἐν οἰκτιρμοῖς Θεανθρώπου πρόθυμος καὶ τίμιος, Αἰμιλιανὲ τρισμακάριστε· μὴ οὖν διαλίπῃς ὡς παῤῥησίαν πολλὴν κεκτημένος πρὸς Κύριον ἐλευθερῶσαι ἡμᾶς τῆς δεδουλωμένους τῇ ἁμαρτίᾳ καὶ ἀξιῶσαι τῆς σὺν σοὶ ἐν οὐρανοῖς ἀφθίτου ἀγαλλιάσεως.

**Καὶ νῦν. Θεοτοκίον.** Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

**Χ**αίροις, ὁ τῆς Μοισίας βλαστός,
τοῦ Δορυστόλου τιμαλφέστατον σέμνωμα,
εὐάνδρου κοσμῆτορ Θράκης
καὶ Ἐκκλησίας Χριστοῦ
καύχημα τὸ μέγα,
Μάρτυς ἄριστε,
σταδίου ὁ πρώταθλος,
Παραβάτου τὸ σύντριμμα,
εἰδώλων πλάνης
κατεδάφισις, Ἅγιε,
καὶ ἐξύμνησις
ἱερὰ ἀγαπήσεως
τοῦ Ποιητοῦ τῆς κτίσεως,
Οὗ ὄνομα πάνσεπτον
καθωμολόγησας χαίρων
Καπετωλίνου πρὸ βήματος
ἐμμένοντος, οἴμοι,
τῇ λατρείᾳ τῶν εἰδώλων
καθάπερ ἄφρονος.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

www.tezaurliturgic.ro


**Χ**αίροις, ὁ λίθος ὁ ἱερὸς
καὶ πολυτίμητος Χριστοῦ θείας πίστεως,
εἰδώλων τῶν ἀναισθήτων
λίθων ταχὺς συντριμμός,
σφύρᾳ σου ὁ θραύσας
πάντα ξόανα
καὶ ὄνομα ἅγιον
τοῦ Χριστοῦ πρὸ τοῦ βήματος
ὁμολογήσας
τοῦ τυράννου τοῦ ἄφρονος,
γενναιότατε
στρατιῶτα τῆς πίστεως·
ὅθεν τὴν θείαν μνήμην σου
τελοῦντες γηθόμενοι
τῶν εὐσεβῶν αἱ χορεῖαι
ἐν κατανύξει βοῶμέν σοι·
πυξὶς τόλμης, χαῖρε,
Αἰμιλιανὲ τρισμάκαρ,
ἀνδρείας πρόβολε.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Χ**αίροις,ὁ παῤῥησίᾳ πολλῇ
ὁμολογήσας τὴν θεάρεστον πρᾶξίν σου
τῆς θραύσεως τῶν εἰδώλων
ὑπὸ τῆς σφύρας τῆς σῆς
τοῦ Καπετωλίνου
κατενώπιον
καὶ δρόμον ἀθλήσεως,
ἀπηνοῦς μαστιγώσεως
καὶ ἐπ' ἀνθράκων
ἀνημμένων σκαιώτατα
ἀποῤῥίψεως
διὰ πίστιν τὴν σῴζουσαν·
Μάρτυς Χριστοῦ, ὁμότροπε
Τριῶν Παίδων ἄριστε
τῶν ἐν καμίνῳ βληθέντων,
μὴ διαλίπῃς ἀείποτε
Χριστὸν πέμψαι δρόσον
ἱκετεύων ἁμαρτίας
τοῖς ἐν τῷ καύματι.

**Δόξα. Ἦχος πλ. δ´.**

**Θ**ριαμβεύσας Ἰουλιανὸν τὸν Παραβάτην
καὶ τρόπαιον ἐγείρας περιφανέστατον πίστεως
Μαρτύρων εὐσταλῶν δήμοις συνηρίθμησαι,
Αἰμιλιανὲ καρτερόψυχε·
ὅθεν τὴν μνήμην σου σέβοντες
καὶ τοὺς ἄθλους σου ἐπαινοῦντες
Χριστ[ον δοξάζομεν τὸν διὰ σοῦ παρέχοντα ἡμῖν
προκοπὴν βίου καὶ ἀρετῆς ὁλοκλήρωσιν.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι...

Νῦν ἀπολύεις....**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον·**

**Ἦχος πλ. α´. Τὸν συνάναρχον Λόγον.**

**Σ**τρατιώτην Ὑψίστου τὸν γενναιότατον
αὐτοῦ συντρίψαντα σφύρᾳ
τῆς ἀπωλείας θεῶν
τὰ σεβάσματα καὶ πίστει ὑπομείναντα,
ἔνδοξον Αἰμιλιανόν,
τῶν βουνεύρων τοὺς δαρμοὺς
καὶ βρόμυον πῦρ ἀσμένως
ᾀσμάτων στέψωμεν ῥόδοις
αὐτοῦ πρεσβείας ἐκδεχόμενοι.

**Θεοτοκίον.** Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

**Ἀπόλυσις.**

*************************

## ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α´ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α´. Τὸν τάφον Σου, Σωτήρ.**

**Μ**αρτύρων καλλονήν,
τοῦ Χριστοῦ στρατιώτην,
νῦν Αἰμιλιανόν,
ἀθλητὴν τροπαιοῦχον
σταδίου τιμήσωμεν

ὡς πυρὸς ὑπομείναντα
φλόγα κράζοντες·
ὁ πυρπολούμενος ζήλῳ
θείῳ γέγονας
διὰ τὴν πίστιν Κυρίου
πυρὸς παρανάλωμα.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

**Χ**ριστὸν τὸν Λυτρωτήν,
Ὃν αἰνοῦσιν ἀπαύστως
Ἀγγέλων στρατιαὶ
ἐν σκηναῖς οὐρανίαις
ἐδέξω ἐν μήτρᾳ σου
τῇ σεπτῇ, Μητροπάρθενε,
θρόνε πάγχρυσε
τοῦ Βασιλέως τῆς δόξης
καὶ χρυσέρυθρον
Αὐτοῦ παλάτιον, Μῆτερ,
πανύμνητε Δέσποινα.

**Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

**Χ**ριστοῦ θείας πίστεως
λαμπάς, Αἰμιλιανέ,
ἐφώτισας σύμπαντα
σοῦ μαρτυρίου βολαῖς,
Μαρτύρων ἀγλάϊσμα·
ὅθεν σὴν θείαν μνήμην
ἑορτάζοντες πόθῳ
ἄθλους σου τοὺς τιμίους
μεγαλύνομεν πάντες,
δι' ὧν στυγνῶν εἰδώλων λατρῶν
θράσος ἐπάτησας.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

**Ἐ**πόπτευε ἅπαντας
καὶ φρούρει δούλους τους σοὺς
ᾠδαῖς μεγαλύνοντας
σῶν θαυμασίων πληθύν,
πανύμνητε Δέσποινα,
Μῆτερ τοῦ Θεανθρώπου

ὑπερευλογημένη,
ἡ σὸν Υἱὸν καὶ Κτίστην
δυσωποῦσα ἀπαύστως
εἰρήνην καταπέμψαι ἡμῖν,
χάριν καὶ ἔλεος.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Ἀγωνισάμενον στεῤῥῶς τιμήσωμεν
ὑπὲρ τῆς πίστεως τοῦ Παντοκράτορος
Κυρίου, Αἰμιλιανόν, ὡς μάρτυρα τροπαιοῦχον
τὸν πυρὸς γευσάμενον τῆς φλογὸς καὶ δεξάμενον
μαρτυρίου στέφανον εὐανθῆ καὶ ἀμάραντον
ψυχῆς ἐν κατανύξει βοῶντες· Χαῖρε, Ὑψίστου
στρατιῶτα.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον·**
Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
**Στίχος.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ
ἐθαυμάστωσεν ὁ Κύριος...

**Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.**
Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
**Στίχος.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ
ἐθαυμάστωσεν ὁ Κύριος.

**Εὐαγγέλιον κατὰ Ἰωάννην (Κεφ. ιε΄ 17 -ιστ΄ 2 ).**
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ταῦτα
ἐντέλλομαι ὑμῖν..
**Ὅρα τὸ εἰς τὴν Λειτουργίαν τοῦ Ἁγίου Γεωργίου.**
**Ὁ Ν΄ Ψαλμός.**

**Δόξα.** Ταῖς τοῦ Ἀθλοφόρου, πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον....

**Ἰδιόμελον. Ἦχος πλ. β´**

Ὁ μὴ φεισάμενος ἀκμῆς νεότητος
καὶ μαρτυρικῇ ἀγωγῇ Χριστῷ εὐαρεστήσας,
Αἰμιλιανὲ καλλίνικε Μάρτυς,
ἀφθίτων ἠξιώθης στεφάνων·
ὅθεν τὴν μνήμην σου σήμερον ἑορτάζοντες
μεγαλύνομεν τὴν σὴν ἐν σταδίῳ παῤῥησίαν,
δι' ἧς ἤλεγξας Παραβάτου τὴν πλάνην
τὰς σὰς πρεσβείας πρὸς Κύριον ἐκδεχόμεθα,
ἵνα τύχωμεν ἐλέους ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**Εἶτα ὁ Κανὼν τοῦ Ὁσιομάρτυρος, οὗ ἡ Ἀκροστιχίς·**

**" Αἰμιλιανοῦ Μάρτυρος, πλοκὴ ᾀσμάτων. Χ. Μ. "**

**ᾨδὴ α´. Ἦχος πλ. α´. Ἵππον καὶ ἀναβάτην.**

Ἄριστε καλλιμάρτυς, ἀεί, Αἰμιλιανέ,
ὁ σεμνῇ πολιτείᾳ καὶ πανσθενεῖ ἀθλήσει σου
λαμπρύνων Ἐκκλησίαν
τοῦ Χριστοῦ, ἐπάκουσον
ἱκετῶν σου φωνῆς δεήσεως.

Ἴνδαλμα ἀθλοφόρων στεῤῥῶν, Αἰμιλιανέ,
Δορυστόλου κοσμῆτορ, θεόγλυπτον ἄγαλμα
εὐτόλμου ἀθλήσεως
ὑπὲρ θείας πίστεως
ἀνεδείχθης, Μαρτύρων πρώταθλε.

Μάρτυς ἠγλαϊσμένε Χριστοῦ, Αἰμιλιανέ,
ἀνημμένους ὁ σβέσας ῥανίσιν ἄνθρακας
αἱμάτων σου ηὔφρανας
πιστῶν τὴν ὁμήγυριν
θεωμένην στεῤῥάν σου ἄθλησιν.

**Θεοτοκίον.**

Ἴαμα τῶν νοσούντων, Μητρόθεε, ἀλγεινῶς,
οἰκετῶν σου ἄλγη φαρμάκῳ θείων σου
δεήσεων ἴασαι
τοὺς σοὶ καταφεύγοντας
ἐν ἀνάγκαις καὶ περιστάσεσι.

www.tezaurliturgic.ro


**ᾨδὴ γ΄. Ὁ πήξας ἐπ᾿ οὐδενός.**

Λαμπάς, Αἰμιλιανέ, Μαρτύρων τῆς πίστεως,
ἔσβεσας σοῖς ἄθλοις εἰδώλων ζόφωσιν
καὶ χοροὺς ἐφώτισας πιστῶν
λάμψεσι σῆς ἀνδρείας
καὶ εὐτολμίας τῆς ἀφράστου σου,
στρατιῶτα Κτίσαντος ἄριστε.

Ἰσχύσας τὸν δυσμενῆ τροπῶσαι ἀθλήσει σου
καὶ κατεδαφίσας λατρῶν τὴν ἔπαρσιν
τῶν εἰδώλων, Αἰμιλιανέ,
εἴληφας οὐρανόθεν
ἀξίως στέφος ἀφθαρσίας,
ἀριστεῦ σταδίου, χρυσόπλοκον.

Ἀρνούμενος, ἀθλητά, λατρεῦσαι τὰ εἴδωλα
Παραβάτου πλάνην εὐτόλμως διήλεγξας,
καλλιμάρτυς Αἰμιλιανέ,
καὶ ἀπηνῶς ἐῤῥίφθης
εἰς πῦρ ὡς χόρτος, ἐν ᾧ εἴληφας
στέφος μαρτυρίου ἀμάραντον.

**Θεοτοκίον.**

Νικήτορας κατ᾿ ἐχθρῶν ἀνάδειξον, Δέσποινα,
εὐσεβεῖς ἐν ὕμνοις φαιδροῖς μεγαλύνοντας
σὲ ὡς τῶν ἀνθρώπων χαρμονήν,
Μῆτερ εὐλογημένη
τοῦ Θεανθρώπου, τοῦ νικήσαντος
τῷ Αὐτοῦ θανάτῳ τὸν θάνατον.

**Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.**

Ὥσπερ φρύγανον ἀνθράκων μέσον
παρανόμοις σε χερσὶν ἐβλήθης,
Μάρτυς Αἰμιλιανέ, γενναιότατε,
ὁ καθορῶν νῦν βλεφάροις ἰδίους σου
Ὃν Ἠσαΐας ἑώρακεν ἄνθρακα
μόνον Κύριον, ἡμῶν πάθη τὰ χαμαίζηλα
ὁ καίων τῇ Αὐτοῦ ἁγίᾳ χάριτι.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Καθιλέωσαι ἡμῖν Υἱόν σου,
τὸν εὐΐλατον, Θεοκυῆτορ,
Ἰησοῦν, Ὃν ἐν γαστρί σου ἐβάστασας
καὶ Ὃν μαζῶν σου διέθρεψας γάλακτι,
τοῖς εὐλαβῶς σε ἀεὶ μακαρίζουσιν
ὡς φιλόστοργον ἀγκάλην τῶν προστρεχόντων σοι,
τροφέα καὶ φρουρὸν ἐν περιστάσεσι.

**ᾨδὴ δ΄. Τὴν θείαν ἐννοήσας σου κένωσιν.**

Ὁ γόνος Δορυστόλου ὁ πάνσεπτος,
στεῤῥόφρον Αἰμιλιανέ,
ὑπὲρ Κυρίου ἐνήθλησας
τοῦ στεφοδότου ἐκθύμως,
δωρουμένου πιστοῖς μέγα ἔλεος.

Ὑμνοῦμέν σου τὴν ἔνδοξον ἄθλησιν,
ἄλκιμε Αἰμιλιανέ,
καὶ ἑορτάζομεν μνήμην σου
τὴν σεβασμίαν ἐκθύμως
πιστῶν ἁπάντων σύλλογοι σήμερον.

Μαρτύρων Δορυστόλου ὡράϊσμα,
ἤθλησας, Αἰμιλιανέ,
λαμπρῶς καὶ λίθος ὡς τίμιος
τῆς τοῦ Χριστοῦ Ἐκκλησίας
αὐτὴν καὶ μαργαρίτης ἐκόσμησας.

**Θεοτοκίον.**

Ἀπαύστως ἀρωγῇ τῇ ἑτοίμῃ σου
καὶ προστασίᾳ ταχινῇ
οἱ εὐσεβεῖς καταφεύγομεν,
Θεογεννῆτορ Παρθένε,
πιστῶν Χριστιανῶν καταφύγιον.

**ᾨδὴ ε΄. Ὁ ἀναβαλόμενος φῶς ὡς ἱμάτιον.**

Ῥεύμασι τιμίων αἱμάτων ἡγίασας
εὐάνδρου Θράκης τὴν χθόνα, Μάρτυς,
καὶ ψυχῆς ἐφοίνιξας τῆς νεανικῆς σου
ἱμάτιον, πολύαθλε.

Τόμος ἀριστείας ἐν σκάμμασι πάγχρυσος
καὶ στῦλος ἄσειστος εὐψυχίας,
Αἰμιλιανέ, ἀνεδείχθης, καρτερόφρον·
διὸ φαιδρῶς ὑμνοῦμέν σε.

Ὑμνῳδίαις στέφοντες πάνσεπτον μνήμην σου,
Χριστοῦ ὁπλῖτα τροπαιοφόρε,
Αἰμιλιανέ, μελῳδοῦμεν σοὺς ἀγῶνας
καὶ ἄθλησιν θεάρεστον.

**Θεοτοκίον.**

Ῥῦσαι περιστάσεως τοὺς σοὺς οἰκέτας
καὶ πάσης βλάβης τοῦ πολεμίου,
Μῆτερ τοῦ Παντάνακτος, Κεχαριτωμένη,
τοὺς πρόσφυγας σῆς χάριτος.

**ᾨδὴ στ΄. Μαινομένην κλύδωνι.**

Οὐρανῶν συμμέτοχε
τῆς εὐκλείας, Αἰμιλιανέ,
ὁ τοῦ Κυρίου Ἰησοῦ θεώμενος
κάλλος τῆς μορφῆς
Ἀγγέλων χαίρεις σὺν τάγμασι.

Σύντριμμα φρυάγματος
τῶν ἀπίστων, Αἰμιλιανέ,
ὡς δαιμονίων οἴκους τὰ ἀγάλματα
σθένει σου ψυχῆς
ἀρρήτῳ, Μάρτυς, ἠδάφισας.

Πῦρ ὡς αὖραν ἔνδροσον
ἐλογίζου, Αἰμιλιανέ,
καὶ ὡς οἱ Παῖδες ἐν καμίνῳ ἔψαλλες·
Πάντα τὸν Θεὸν
ὑμνεῖτε ἔργα τὸν Ὕψιστον.

**Θεοτοκίον.**

Λύπης μου σκοτόμαιναν
λῦσον, Θεοτόκε ἀγαθή,
ἡ Φωτοδότην Ἰησοῦν κυήσασα
τὴν πηγὴν χαρᾶς

ἡμῶν, φωτὶ σῶν δεήσεων.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Τῆς εὐσεβείας εὐωδέστατον λευκάνθεμον
καὶ ἀριστείας ἐν σταδίῳ ἴον ἥδιστον
εὐφημήσωμεν ὡς Μάρτυρα τροπαιοῦχον
Παραβάτου ἐδαφίσαντα τὴν ἔπαρσιν,
Αἰμιλιανὸν στεῤῥόν, καὶ πίστιν κραταιώσαντα
ἄθλοις κράζοντες· Χαίροις, Μάρτυς καλλίνικε.

**Ὁ Οἶκος.**

Ἄριστε τοῦ σταδίου
ἀθλητὰ καὶ Ὑψίστου,
ὦ Αἰμιλιανέ, στρατιῶτα,
παριδὼν ἡλικίας ἀκμὴν
μαρτυρίου δρόμον εὐθαρσῶς ἤνυσας·
διό σε μακαρίζοντες
κραυγάζομεν φωναῖς αἰσίαις·

Χαῖρε, τὸ βλάστημα τῆς Μοισίας·
χαῖρε, ὡράϊσμα εὐσεβείας.

Χαῖρε, Δορυστόλου πυρσὸς παμφαέστατος·
χαῖρε, τοῦ Ὑψίστου ὁπλίτης ἀήττητος.

Χαῖρε, ὅτι ἄθλοις ᾔσχυνας πλάνον Ἰουλιανόν·
χαῖρε, ὅτι εὐηρέστησας σῇ ἀθλήσει τὸν Χριστόν.

Χαῖρε, ὁ ὑπομείνας τῶν ἀνθράκων τὸ καῦμα·
χαῖρε, ὁ καταστείλας τῆς νεότητος φλόγα.

Χαῖρε, λαμπρὸν τῆς πίστεως σέμνωμα·
χαῖρε, φαιδρὸν τῆς χάριτος γνώρισμα.

Χαῖρε, στεῤῥῶν ἀθλοφόρων ἀκρότης·
χαῖρε, θερμῶν ὑμνητῶν σου φαιδρότης.

Χαίροις, Μάρτυς καλλίνικε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΙΗ΄ Ἰουλίου. Εἶτα λέγομεν·**
Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγίου, ἐνδόξου Μάρτυρος Αἰμιλιανοῦ.

**Στίχοι.**

Πυρὶ ἠναλώθης ὡς χόρτος ὁ θείῳ
ἔρωτι, Αἰμιλιανέ, πυρούμενος.

**Συναξάριον.**

Ὁ ἔνδοξος Μάρτυς Αἰμιλιανὸς ἦν ἐκ Δορυστόλου τῆς ἐν Θράκῃ Μοισίας δοῦλος Ἑλληνός τινος. Ἤθλησεν ἐν τοῖς χρόνοις Ἰουλιανοῦ τοῦ Παραβάτου καὶ Βικαρίου Καπετωλύνου ἐν ἔτει 381. Ἀποστρεφόμενος τὰ εἴδωλα εἰσῆλθε κρυφίως εἰς τὸν Ναὸν αὐτῶν τῇ αὐτοῦ σφύρᾳ κατέστρεψεν αὐτὰ ἅπαντα. Πολλῶν στρομένων ἀδίκως εἰς καταδίκην διὰ τὸ συμβεβηκὸς αὐτὸ, ἅτε ἀγνώστου μένοντος τοῦ αὐτουργοῦ τῆς γενναίας αὐτῆς πράξεως παρουσιασθεὶς ὁ Αἰμιλιανὸς τῷ τυράννῳ ἑαυτὸν ὡμολόγησεν ὡς δράστην. Ὅθεν συλληφθεὶς καὶ ἐλέγξας τὴν τοῦ Βικαρίου ἀγνωσίαν καὶ ἐμμονὴν ἐν τῇ τῶν εἰδώλων λατρίᾳ ἀσπλαγχνως βουνεύροις ἐδάρη καὶ εἰς ἀνημένους ἐῤῥίφθη ἄνθρακας, ὅπου ἄκαυστος παραμείνας παρέδωκεν τὴν ἁγίνα αὐτοῦ ψυχὴν εἰς χεῖρας Θεοῦ, τοῦ δόντος αὐτῷ στέφανον ἀφθαρσίας.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**ᾨδὴ ζ΄. Ὁ ὑπερυψούμενος.**

Ὀλετὴρ δριμύτατος
Παραβάτου πέφηνας
καὶ πίστεως πρόμαχος
Χριστοῦ, τοῦ παρέχοντος
ἡμῖν ἐλέους πλῆθος,
Αἰμιλιανὲ τρισμάκαρ.

Κῆπος εὐανθέστατος
ὤφθης γενναιότητος
ἡδῦνον τὰ σύμπαντα
ὀδμαῖς ἀριστείας σου
καὶ ἄθλων εὐωδίᾳ,
Αἰμιλιανέ, στεῤῥῶν σου.

ᾜσχυνας ἐνστάσει σου
Παραβάτην ἄφρονα

καὶ τούτου ἐπάτησας
ὀφρὺν τῇ ἀθλήσει σου
τῇ κατηγλαϊσμένῃ,
Αἰμιλιανὲ ἀλκίφρον.

**Θεοτοκίον.**

**Ἀ**πλανὴς τῶν δούλων σου
ποδηγὸς πρὸς θέωσιν
ὑπάρχεις, Μητρόθεε
σεμνή, Ὁδηγήτρια,
ὑπεδεδοξασμένη
Θεοκῦμον Παναγία.

**Ὠδὴ η´. Σοὶ τῷ Παντουργῷ.**

**Σ**τῦλος ἀῤῥαγὴς
Χριστοῦ τῆς Ἐκκλησίας
ὑπάρχεις καὶ σέμνωμα βοώντων πάντοτε·
Πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Μ**έμνησο ἡμῶν
τιμώντων τὴν σὴν μνήμην
λαμπρῶς νῦν καὶ ᾄσμασι βοώντων, ἔνδοξε·
Πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Α**ἰμιλιανέ,
τοὺς λίθους τοὺς ἀψύχους
συντρίβων ἀνέκραζες ψυχῆς ἐκ βάθους σου·
Πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Θεοτοκίον.**

**Τ**είχισον ἡμᾶς
σῇ θείᾳ προστασίᾳ

βοῶντας τῷ Τόκῳ σου τῷ πανοικτίρμονι·
Πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Ὠδὴ θ΄. Ἠσαΐα, χόρευε.**

Ὤφθης πολυτίμητος
μαργαρίτης,Αἰμιλιανέ,
τῆς πίστεως Χριστοῦ, Μάρτυς εὐσθενές,
καὶ στέμμα χρυσόπλοκον
ἀθλητικῆς ὄντως ἀγωγῆς,
σθένει τοῦ Κτίσαντος
ὁ συντρίβων πολεμήτορας.

Νίκης στέφος εἴληφας
οὐρανόθεν,Αἰμιλιανέ,
σταδίου ἀθλητῶν ὡς θριαμβευτὴς
ἐν χρόνοις νεότητος
καὶ ὁπλιτῶν εὐσθενῶν Χριστοῦ
μέγα ὡράϊσμα
καὶ βαλβὶς καὶ σεμνολόγημα.

Χαῖρε, Μάρτυς ἄριστε,
Στεφηφόρε Αἰμιλιανέ,
ὁ χάριν εἰληφὼς Κτίστῃ ὁμιλεῖν
ἀεὶ καὶ προσεύχεσθαι
ὑπὲρ ἡμῶν τῶν πανευλαβῶς
μνήμην τιμώντων σου
τὴν φωσφόρον καὶ πανέορτον.

**Θεοτοκίον.**

Μῆτερ παντευλόγητε
Θεοῦ Λόγου
τοῦ πανσθενουργοῦ,
ἱκέτευε Αὐτὸν πέμψαι δαψιλῶς
ἡμῖν θεῖον ἔλεος
τὴν πρὸς ἡμᾶς μέλπουσιν ἀεὶ
σοῦ θείαν πρόνοιαν,
προστασίαν καὶ ἀντίληψιν.

**Ἐξαποστειλάριον. ὁ οὐρανὸν τοῖς ἄστροις.**

Τὸν ἀπελεύθερον δοῦλον
Κυρίου, Αἰμιλιανόν,
ὡς καλλινίκων Μαρτύρων
τῆς εὐσεβείας κορυφὴν
καὶ ἀριστέα σταδίου
ἐγκωμιάσωμεν πόθῳ.

**Θεοτοκίον.**

Τῆς παρθενίας λαμπάδα
τὴν φωταυγῆ πανευλαβῶς,
Θεογενήτριαν Κόρην,
ἐγκωμιάζομεν πιστοὶ
ἀπεκδεχόμενοι ταύτης
τὰς ὁλοφώτους πρεσβείας.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**
**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Μαρτύρων Θράκης κοσμῆτορ,
Μοισίας βλάστημα
καὶ Δορυστόλου γόνε,
ἀναισθήτους ὁ λίθους
τῇ σφύρᾳ σου σύντριψας καὶ ἀνδρικῶς
ὑπομείνας μαρτύριον
διὰ Χριστόν, θαυμαστὲ Αἰμιλιανέ,
χάριν εἴληφας οὐράνιον.

Τὸν Παραβάτην αἰσχύνας
σοῖς κατορθώμασι
καὶ Βικαρίου θράσος,
φαύλου Καπετωλίνου,
πατήσας τοῖς σοῖς ἄθλοις, Αἰμιλιανέ,
πρὸς ἀΐδιον εὔκλειαν
ὑψώθης δήμοις Ἀγγέλων φωτοειδῶν
συνευφραίνεσθαι ἀείποτε.

Διὰ πυρὸς προσηνέχθης
τῷ Παντοκράτορι
ὡς προσφορὰ τελεία
καὶ σεπτὸν ἱερεῖον,

Μαρτύρων κοσμιότης, Αἰμιλιανέ,
ὁ χαρίτων σου ῥεύμασι
καθαγιάζων τοὺς δήμους τῶν εὐσεβῶν
εὐφημούντων σου τὴν ἄθλησιν.

Τὸν καθαιρέτην ἀψύχων
εἰδώλων μέλψωμεν
καὶ Παραβάτου πλάνης
εὐσεβείας ὡς λύχνον
πολύφωτον ἀγώνων, Αἰμιλιανόν,
ἱερῶν τὸν διώκοντα
τὴν σκοτομήνην ἀπάτης τὴν ζοφερὰν
καὶ Χριστόν, τὸ Φῶς, προβάλλοντα.

**Δόξα. Ἦχος πλ. α΄.**

Δεῦτε πιστοὶ τὸν διὰ σφύρας συντρίψαντα τὰ εἴδωλα
ἀπελεύθερον δοῦλον Χριστοῦ εὐφημήσωμεν,
Αἰμιλιανὸν τὸν ἔνδοξον, πιστῶς κραυγάζοντες·
ὁ γενναιοφρόνως ἀνύσας τὸν δόλιχον τοῦ μαρτυρίου
καὶ στέφος δεξάμενος ἐκ χειρῶν Κυρίου,
μὴ παύσῃ Αὐτοῦ δεόμενος, πολύαθλε,
ὑπὲρ τῶν τιμώντων ἐν ὕμνοις
τὴν λαμπρὰν καὶ πανσεβάσμιον μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ 'Απόλυσις.**

****************

## ΕΝ Τῌ ΛΕΙΤΟΥΡΓΙᾼ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Μάρτυρος ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.**

**Ἀπόστολος· πρὸς Ἐφεσίους (Κεφ. στ΄ 10 - 17 ).**
Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος Αὐτοῦ...
**Ζήτει τῇ ΚΖ΄ Κυριακῇ.**

**Εὐαγγέλιον· κατὰ Ματθαῖον (Κεφ. ζ´ 12 - 21 ).**
Εἶπεν ὁ Κύριος· Πάντα ὅσα ἂν θέλητε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι...
**Ζήτει τῇ 13η Ὀκτωβρίου.**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.**

**Μεγαλυνάριον.**

**Χ**αίροις, εὐσταλὲς Αἰμιλιανέ,
Μάρτυς τροπαιοῦχε,
ὁ συντρίψας σφύρᾳ τῇ σῇ
ξόανα εἰδώλων
καὶ ἐν φλογὶ καμίνου
λαβὼν τῆς ἀφθαρσίας
στέφος ἀμάραντον.

**Δίστιχον.**

**Αἰμιλιανὸν Μάρτυρα ᾖσε χάριν**
**αὐτοῦ σεπτοῦ φερωνύμου Χαραλάμπης.**

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι Δ Ο Ξ Α**

**Τ Ω Μ Ο Ν Ω Α Λ Η Θ Ι Ν Ω**

**Θ Ε Ω Η Μ Ω Ν**

